A ἀπόλωλεν. οἴχεσθαι γὰρ, τὸ ἀπελθεῖν. καὶ τὸ θανεῖν. καὶ ἁπλῶς ἀφανισθῆναι. ὅθεν οἱ οἰχόμενοι, καὶ ἀποιχόμενοι, οἱ θανόντες. Ευστ. ὁ νοῦς. λέγεις τῆς Ἑλλάδος ἁπάσης σωτηρίαν ἐν γυναιξὶν εἶναι; ἡ Ἑλλὰς οὖν σχεδὸν ἀπόλωλε, διὰ τὴν γυναικῶν ἀσθένειαν. τὸ δὲ γὰρ, ἀντὶ τοῦ οὖν λη πλέον δοκεῖ. Μηκέτ᾽ εἶναι.] τουτέστιν. ἀφανισθῆναι, φθαρῆναι, ἀπολωλέναι. Επιγλωττιοῦμαι] φλυαρήσω. Σ. ἐπιγλωττεῖσθαι καὶ τὸ λοιδορεῖν. καὶ λοιδορίαις γλώσσῃ προφερομέναις τινὸς καθάπτεσθαι. νῦν δὲ ἐπιγλωττεῖσθαί τι περί τινος, λαμβάνεται ἀντὶ τοῦ λοιδορεῖν, καὶ κακολογεῖν, B καὶ τῇ γλώττῃ τι προφέρειν κατά τινος. Υπονόηταί σύ μοι.] ἀλλ᾽ ἐμοῦ σωτώσης δεῖ μὲν τοι σὲ τὸ ῥᾳδίως ὑπονοεῖν, καὶ ἐν σεαυτῇ φρονεῖν ἐμὲ μηδὲν τοιοῦτο κατὰ τῶν Ἀθηναίων φλυαρεῖν ἐθέλειν. τὸ γὰρ αὐτῶν ἀπωλείας ἐπιθυμεῖν ἀνόσιον. αἱ γὰρ Ἀθῆναι πατρὶς ἡμῶν ὑπάρχει. Εξηνθισμέναι.) ἐξανθίζειν. τὸ βάπτειν, καὶ οἱονεὶ χρώματος ἀνθηροῦ ποιεῖν. χρώμασιν ἀνθηροῖς χρωματίζειν, καὶ κοσμεῖν. ὅπερ αἱ γυναῖκες καλλωπισμοῦ ἐπιθυμοῦσαι ποιοῦσιν, ἵνα τὴν ὄψιν καλλίους φαίνωνται. ἐξανθεῖν δὲ, τὸ βλαστάνειν. καὶ γῆ ἐξανθεῖν κυρίως λέγεται ὅταν ἐκ τοῦ C ἑαυτῆς κόλπου τὰ ἄνθη ἐξανατέλλει καὶ ἀναδιδοῦσα φύει. τινὲς δὲ καὶ τὸ ἐξανθίζειν λαμβάνουσιν ἀντὶ τοῦ ἁπλοῦ ξανθίζειν, τουτέστι ξανθὸν ποιεῖν. καὶ τὰς τρίχας ξανθίζειν αἱ γυναῖκες εἰώθασιν, ἵνα τὸ τῆς φύσεως ἐλλειπὲς πρὸς τὸν καλλωπισμὸν ἐπανορθῶσι, καὶ τὸ κάλλους μέρη κατὰ δύναμιν καὶ οὕτω πληρῶσι. Κροκωτοφοροῦσαι.] δηλονότι ἐσθήματα, ἢ ἐνδύματα χρώματος κροκέου, οἷς αἱ τῶν πλουσιωτέρων ἀνδρῶν γυναῖκες πάλαι κόσμου χάριν ἐχρῶντο. λέγεται δὲ καὶ κροκωτὸς, οῦ, ἁπλῶς οὐδετέρως. καὶ ἐπιθετικῶς κροκωτὸς καὶ τότε ἢ ἔνδυμα, ἢ ἔσθημα, ἢ ἱμάD τιον πρὸς τὴν τῆς φράσεως ἐκπλήρωσιν ὑπακουστέον. περὶ τούτου καὶ ἐν τοῖς ἄνω προείρηται. κεκαλλωπισμέναι δὲ, κοσμηθεῖσαι. καλλωπίζω δὲ, ἐκ τοῦ κάλλος, καὶ τοῦ ὤψ, ὠπὸς, τὸ πρόσωπον. Καὶ κιμβερικὸν ὀρθοστάδια) Ησύχιος κιμβερικὸν ὀξυτόνως, χιτωνίσκου εἶδος πολυτελοῦς εἶναι λέγει. ὁ καὶ στατὸς λέγεται. Σουΐδας δὲ, κιμβέρικον διὰ τοῦ ν προπαροξυτόνως γράφει, καὶ εἶναι λέγει εἶδος ἱματίου, ἀπὸ τόπου οὕτω κληθέν. ὁ δὲ Πολυδεύκης κιμβαρικὸν διὰ τοῦ α γράφων, διαφανῆ χιτωνίσκον ἑρμηνεύει. καὶ ὀρθοστάE διος, κατὰ τὸ αὐτὸ, καλεῖται ὁ οὐ ζωννύμενος χιτών. καὶ τοὺς τοιούτους χιτωνίσκους, φησὶν, Ἀριστοφάνης ὀρθοστάδιας καλεῖ. τοῦτον τὸν τόπον, ὡς οἶμαι, αἰνίττεσθαι βουλόμενος. ὅθεν, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ὀρθοστάδιας ἀρσενικῶς ἂν λέγοιτο, ὡς τὸ Αἰνείας ἐν τῇ αἰτιατικῇ πληθυντικῇ. Αλλὰ Σουΐδας ἀξιοπιστοτέρως, ὀρθοσταδίους χιτῶνας καλεῖσθαι λέγει, τοὺς στατούς. ὡς τοὺς συρτοὺς, τοὺς συρομένους. Καὶ παρὰ τῷ Εὐσταθίῳ, ὀρθοστάδιοι χιτῶνες, οἱ στατοί. συρτοὶ δὲ οἱ συρόμενοι λέγονται. Εκ τούτων οὖν δῆλόν ἐστιν, ὀρθοστάδια νῦν ἐπιθετικῶς ληπτέον εἶναι, παρὰ τὸ ὀρθὰ ἵστασθαι. Εν τισι δὲ τῶν παλαιῶν βιβλίων ἐστὶν ὁρᾶν κιμβερικορθοστάδια μιᾷ λέξει γραφόμενον. ὅπερ οὐκ ἄτοπον. καὶ ἴσως Ἀριστοφάνην οὕτω γεγραφέναι οὐκ ἀπίθανον. Καὶ περιβαρίδας.] ὑποδημάτων γυναικείων εἶδος. Ησυχ. Χ᾽ ἤγχουσα δὲ, κατὰ κρᾶσιν Ἀττικὴν, ἀντὶ τοῦ καὶ ἡ ἄγχουσα. ἄγχουσα δὲ, εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. Αλλως. B ἄγχουσα. ῥίζα ᾗ φυκοῦνται τὰ γύναια. χιτώνια δὲ διαφανῆ, οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι᾽ ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. Σ. Ἃ σώσειν προσδοκῶ] ταῦτα οὕτω σύνταξον, καὶ γάρ τοι ταῦτ᾽ αὐτά ἐστιν, ἃ προσδοκῶ σώσειν τὴν Ἑλλάδα δηλαδή. προσδοκῶ δὲ, ἐλπίζω. κυρίως δὲ τὸ περιμένω, καὶ προσδέχομαι δηλοῖ. Αἴρεσθαι δόρυ.] ὥστε μηδένα τῶν νῦν ἀνθρώπων πολεμεῖν ἀλλήλοις. δόρυ δὲ, τὴν λόγχην, καὶ πᾶν βέλος πολεμικὸν συνεκδοχικῶς σημαίνει.

CHR. Αν ἐζητημένον.] Vno verbo lego ἀνεζη-C τημένον. Quod autem sequitur ἐρριπτασμένον, nihil aliud est quàm meditari & exercitatione sollerti aliquid extundere & inuenire. Translationem verisimile est sumptam à cubis aut tesseris quæ iaciuntur vt rectè cadant: hoc vt suspicer faciunt grãmatici qui hunc locum videntur innuere apud Sudam λεξικογράφον. Fortassis autem non malè intelligimus de minutis & tenuibus partibus quæ eiiciuntur & ablegantur, vt sunt prosiciæ, & puto D nequissimas fœminas cùm dicunt πρᾶγμα μέγα παχὺ, λεπτὸν innuere partem illam qua viri sumus & πρακτικοὶ vel ἀνυστικοί: & nos idem ferè vsurpamus Idiotismo Francico, proinde vt Græci χρῆμα & Latini res dixerunt, vt apud Arnobium formatas inguinibus res. sane si falsa est hæc coniectura, vitio humanitatis ingeniosi sumus in nequitiis explicandis. Mox pro οἴχετο, lego aut οἴχεται aut ᾤχετο. Οὐκ ἐπιγλωττιοῦμαι.] Hoc verbi nihil hoc loco aliud significat quàm φλυαρίαν vel βλασφη-E μίαν, & quod vernaculè dicimus *languard ou babillard.* Περιβαρίδας] Iul. Pollux lib. 7. ait esse ancillarum calceos. Hic calciamenta sunt ingenuarum & nobilium. Cęterum de Anchusa vide Dioscoridem lib. 4. cap. 23. 24. & 25. vbi videbis tres Anchusæ species.

Κα. Κροκωτὸν ἄρα νὴ τὼ θεὼ γὼ βάψομαι.
Λυ. Μὴ δ᾽ ἀσπίδα λαβεῖν. Κα. κιμβερικὸν ἐνδύσομαι.
Λυ. Μὴ δὲ ξιφίδιον. Κα. κτήσομαι περιβαρίδας.
Λυ. Αρ᾽ οὐ παρεῖναι τὰς γυναῖκας δῆτ᾽ ἐχρῆν.
Κα. Οὐ γὰρ μὰ Δί᾽ ἀλλὰ πετομένας ἥκειν πάλαι.
Λυ. Αλλ᾽ ὦ μέλ᾽ ὄψει γε σφόδρ᾽ αὐτὰς Ἀττικὰς,
Ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.
Αλλ᾽ οὐδὲ παράλων οὐδεμία γυνὴ πάρα
Οὐδ᾽ ἐκ Σαλαμῖνος. Κα. ἀλλ᾽ ἐκεῖναί γ᾽ οἶδ᾽ ὅτι
Επὶ τῶν κελήτων διαβεβήκασ᾽ ὄρθριαι.
Λυ. Οὐδ᾽ ἃς προσεδόκων κἀλογιζόμην ἐγὼν
Πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων

CA. *Ergo crocotam per deos infecerim.*
F Lvs. *Clypeúmve sumat.* CA. *induámque castulam.*
Lvs. *Paruum vel ensem.* CAL. *Possidebo calceos.*
Lvs. *Nónne hic adesse fœminas oportuit?*
CA. *Imò volantes conuenire iamdiu.*
Lvs. *At prorsus ipsas esse noris Atticas*
*Nil non agentes, præter id quod expedit,*
*sed ex maritimis nulla præsest fœmina*
G *Neque salamine.* CA. *Quas tamen certò scio*
*Luce appetente progredi è celocibus.*
Lvs. *Tum quas priores affore autumaueram*
*sperauerámque nempe Acharnenses nurus,*

Γυναῖ-